ἐσταυρωμένον· ἠγέρθη, οὐκ ἔστιν ὧδε· ἴδε ὁ τόπος ὅπου
ἔθηκαν αὐτόν. **7** ἀλλὰ ὑπάγετε εἴπατε τοῖς μαθηταῖς
αὐτοῦ καὶ τῷ Πέτρῳ ὅτι[a] Προάγει ὑμᾶς εἰς τὴν Γαλιλαίαν·
ἐκεῖ αὐτὸν ὄψεσθε, καθὼς εἶπεν ὑμῖν. **8** καὶ ἐξελθοῦσαι
ἔφυγον ἀπὸ τοῦ μνημείου, εἶχεν γὰρ αὐτὰς τρόμος καὶ
ἔκστασις· καὶ οὐδενὶ οὐδὲν εἶπαν, ἐφοβοῦντο γάρ.

## THE LONGER ENDING OF MARK

### The Appearance to Mary Magdalene
(Mt 28.9–10; Jn 20.11–18)

⟦**9**[2] Ἀναστὰς δὲ πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον
Μαρίᾳ τῇ Μαγδαληνῇ, παρ᾽ ἧς ἐκβεβλήκει ἑπτὰ δαιμόνια.
**10** ἐκείνη πορευθεῖσα ἀπήγγειλεν τοῖς μετ᾽ αὐτοῦ γενο-
μένοις πενθοῦσι καὶ κλαίουσιν· **11** κἀκεῖνοι ἀκούσαντες
ὅτι ζῇ καὶ ἐθεάθη ὑπ᾽ αὐτῆς ἠπίστησαν.

### The Appearance to Two Disciples
(Lk 24.13–35)

**12** Μετὰ δὲ ταῦτα δυσὶν ἐξ αὐτῶν περιπατοῦσιν ἐφανε-
ρώθη ἐν ἑτέρᾳ μορφῇ πορευομένοις εἰς ἀγρόν· **13** κἀκεῖνοι
ἀπελθόντες ἀπήγγειλαν τοῖς λοιποῖς· οὐδὲ ἐκείνοις
ἐπίστευσαν.

---

[2] **9** {A} *omit vv 9–20* ℵ B 2386 (*Lect? lection ends with verse 8*) syr$^{s}$ arm$^{mss}$ eth$^{mss}$ geo$^{1,A}$ Clement Origen Eusebius mss$^{acc. to Eusebius}$ Jerome mss$^{acc. to Jerome}$ Ammonius // *add vv 9–20 with asterisks, obeli or critical note in ms* $f^{1}$ 137 138 1110 1210 1215 1216 1217 1221 1241$^{vid}$ 1582 // *add vv 9–20* A C D K X Δ Θ Π $f^{13}$ 28 33 274$^{txt}$ 565 700 892 1009 1010 1071 1079 1195 1230 1242 1253 1344 1365 1546 1646 2148 2174 *Byz* $l^{60,69,70,185,547,883}$ it$^{aur,c,d^{supp},ff^{2},l,n,o,q}$ vg syr$^{c,p,h,pal}$ cop$^{sa,bo,fay}$ (goth *ms lacks vv 12–20*) arm$^{mss}$ geo$^{B}$ Diatessaron$^{a,i,n}$ Justin? Irenaeus$^{gr,lat}$ Tertullian Aphraates Apostolic Constitutions Didymus // *add short ending* (*see page 198*) *only* it$^{k}$ // *add short ending and vv 9–20* L Ψ 099 0112 579 syr$^{hmg}$ cop$^{sa^{mss},bo^{mss}}$ eth$^{mss}$ // *add vv 9–20 and short ending* 274$^{mg}$ $l^{961,1602}$ // *add vv 9–14, long addition, 15–20* (*see footnote 4*) W

[a] **7** *a* direct: WH Bov Nes? BF² RV ASV NEB TT Zür // *a* indirect: TR Nes? AV RSV Luth Jer Seg

**7** Προάγει...ὑμῖν Mt 26.32; Mk 14.28 **9** Μαρίᾳ...δαιμόνια Lk 8.2



### The Commissioning of the Disciples
(Mt 28.16–20; Lk 24.36–49; Jn 20.19–23; Ac 1.6–8)

**14** Ὕστερον [δὲ] ἀνακειμένοις αὐτοῖς τοῖς ἕνδεκα
ἐφανερώθη, καὶ ὠνείδισεν τὴν ἀπιστίαν αὐτῶν καὶ
σκληροκαρδίαν ὅτι τοῖς θεασαμένοις αὐτὸν ἐγηγερμένον[3]
οὐκ ἐπίστευσαν. **15** καὶ εἶπεν αὐτοῖς[4], Πορευθέντες εἰς
τὸν κόσμον ἅπαντα κηρύξατε τὸ εὐαγγέλιον πάσῃ τῇ
κτίσει. **16** ὁ πιστεύσας καὶ βαπτισθεὶς σωθήσεται, ὁ δὲ
ἀπιστήσας κατακριθήσεται. **17** σημεῖα δὲ τοῖς πιστεύ-
σασιν ταῦτα παρακολουθήσει· ἐν τῷ ὀνόματί μου δαιμόνια
ἐκβαλοῦσιν, γλώσσαις λαλήσουσιν καιναῖς[5], **18** [καὶ ἐν
ταῖς χερσὶν] ὄφεις[6] ἀροῦσιν, κἂν θανάσιμόν τι πίωσιν οὐ

---

[3] **14** {A} ἐγηγερμένον C³ D K L W Θ Π Ψ 099 700 1009 1010 1079 1242 1344 1365 1646 2148 2174 *Byz Lect* $l^{185m}$ it$^{aur,c,d^{supp},ff^{2},l,o,q}$ vg syr$^{p,pal}$ cop$^{sa,bo^{mss}}$ eth geo$^{B}$ Diatessaron // ἐκ νεκρῶν X // ἐγηγερμένον ἐκ νεκρῶν A C* Δ $f^{1}$ $f^{13}$ 28 33 565 892 (1071 ἐκ τῶν) 1195 1216 1230 1241 1253 1546 $l^{547}$ syr$^{h}$ cop$^{bo^{mss}}$ arm

[4] **14–15** {A} ἐπίστευσαν. καὶ εἶπεν αὐτοῖς A C (D εἶπεν πρὸς αὐτούς) K L X Δ Θ Π Ψ 099 $f^{1}$ $f^{13}$ 28 33 565 700 892 1009 1010 1071 1079 1195 1216 1230 1241 1242 1253 1344 1365 1546 1646 2148 2174 *Byz Lect* $l^{185m,(883)}$ it$^{aur,c,d^{supp},ff^{2},l,o,q}$ vg syr$^{p,h,pal}$ cop$^{sa,bo}$ arm geo$^{B}$ // ἐπίστευσαν. κἀκεῖνοι ἀπελογοῦντο λέγοντες ὅτι ὁ αἰὼν οὗτος τῆς ἀνομίας καὶ τῆς ἀπιστίας ὑπὸ τὸν σατανᾶν ἐστιν, ὁ μὴ ἐῶν τὰ ὑπὸ τῶν πνευμάτων ἀκάθαρτα τὴν ἀλήθειαν τοῦ θεοῦ καταλαβέσθαι δύναμιν· διὰ τοῦτο ἀποκάλυψον σοῦ τὴν δικαιοσύνην ἤδη. ἐκεῖνοι ἔλεγον τῷ Χριστῷ, καὶ ὁ Χριστὸς ἐκείνοις προσέλεγεν ὅτι πεπλήρωται ὁ ὅρος τῶν ἐτῶν τῆς ἐξουσίας τοῦ σατανᾶ, ἀλλὰ ἐγγίζει ἄλλα δεινὰ καὶ ὑπὲρ ὧν ἐγὼ ἁμαρτησάντων παρεδόθην εἰς θάνατον ἵνα ὑποστρέψωσιν εἰς τὴν ἀλήθειαν καὶ μηκέτι ἁμαρτήσωσιν· ἵνα τὴν ἐν τῷ οὐρανῷ πνευματικὴν καὶ ἄφθαρτον τῆς δικαιοσύνης δόξαν κληρονομήσωσιν. ἀλλά W Greek mss$^{acc. to Jerome}$

[5] **17** {B} λαλήσουσιν καιναῖς A C² (D$^{supp}$ λαλήσωσιν) K W X Θ Π $f^{1}$ $f^{13}$ 28 33 565 700 892 1009 1010 1071 1079 1195 1216 1230 1241 1242 1253 1344 1365 1546 1646 2148 2174 *Byz Lect* $l^{185m}$ it$^{aur,c,d^{supp},ff^{2},l,q}$ vg geo$^{B?}$ Ambrose Augustine // καιναῖς λαλήσουσιν it$^{o}$ syr$^{c,p,h,pal}$ geo$^{B?}$ Hippolytus Jacob-Nisibis Apostolic Constitutions // λαλήσουσιν C* L Δ Ψ cop$^{sa,bo}$ arm

[6] **18** {C} καὶ ἐν ταῖς χερσὶν ὄφεις C L X Δ$^{gr}$ Ψ 099 $f^{1}$ 33 565 892 1230

**16** ὁ πιστεύσας...σωθήσεται Ac 2.38; 16.31, 33 **17** ἐν...ἐκβαλοῦσιν Ac 8.7; 16.18 γλώσσαις...καιναῖς Ac 2.4, 11; 10.46; 19.6; 1 Cor 14.2–40 **18** ἐν...ἀροῦσιν Lk 10.19; Ac 28.3–6



μὴ αὐτοὺς βλάψῃ, ἐπὶ ἀρρώστους χεῖρας ἐπιθήσουσιν
καὶ καλῶς ἕξουσιν.

### The Ascension of Jesus
(Lk 24.50–53; Ac 1.9–11)

**19** Ὁ μὲν οὖν κύριος [Ἰησοῦς][7] μετὰ τὸ λαλῆσαι
αὐτοῖς ἀνελήμφθη εἰς τὸν οὐρανὸν καὶ ἐκάθισεν ἐκ
δεξιῶν τοῦ θεοῦ. **20** ἐκεῖνοι δὲ ἐξελθόντες ἐκήρυξαν
πανταχοῦ, τοῦ κυρίου συνεργοῦντος καὶ τὸν λόγον
βεβαιοῦντος διὰ τῶν ἐπακολουθούντων σημείων.[8]⟧

## A SHORTER ENDING OF MARK

⟦Πάντα δὲ τὰ παρηγγελμένα τοῖς περὶ τὸν Πέτρον
συντόμως ἐξήγγειλαν. Μετὰ δὲ ταῦτα καὶ αὐτὸς ὁ
Ἰησοῦς[9] ἀπὸ ἀνατολῆς καὶ ἄχρι δύσεως ἐξαπέστειλεν δι᾽
αὐτῶν τὸ ἱερὸν καὶ ἄφθαρτον κήρυγμα τῆς αἰωνίου
σωτηρίας. ἀμήν.[10]⟧[11]

---

1253 $l^{6,253}$ syr$^{h with *}$ geo$^{B}$ Acts of Pilate$^{mss}$ // καὶ ἐν ταῖς χερσὶν αὐτῶν ὄφεις (syr$^{c}$) cop$^{sa,bo}$ arm // ὄφεις A D$^{supp}$ K W Θ Π $f^{13}$ 28 700 1009 1010 1071 1079 1195 1216 1241 1242 1344 1365 1546 1646 2148 2174 *Byz Lect* $l^{185m}$ it$^{aur,c,d^{supp},l,o,q}$ vg syr$^{p,pal}$ Diatessaron Acts of Pilate$^{txt}$ Hippolytus

[7] **19** {C} κύριος Ἰησοῦς C* K L Δ $f^{1}$ $f^{13}$ 33 565 892$^{mg}$ 1071 1079 1230 1241 1546 $l^{174,230,547,983}$ it$^{aur,c,ff^{2},q}$ vg$^{cl}$ syr$^{c,p,h,pal}$ cop$^{sa,bo}$ arm eth Irenaeus$^{gr,lat}$ // κύριος A C³ D$^{supp}$ X Θ Π$^{supp}$ Ψ 28 700 892* 1009 1010 1195 1216 1242 1253 1344 1365 1646 2148 2174 *Byz Lect* $l^{185m}$ it$^{d^{supp},l}$ vg$^{ww}$ geo$^{B}$ Irenaeus$^{lat^{ms}}$ // Ἰησοῦς H 474 // κύριος Ἰησοῦς Χριστός W it$^{o}$

[8] **20** {B} σημείων. A C² $f^{1}$ 33 1079 it$^{aur,ff^{2},q}$ vg$^{cl}$ syr$^{c,p,h,pal}$ cop$^{sa}$ arm geo$^{B}$ // σημείων. ἀμήν. C*$^{vid}$ D$^{supp}$ K L W X Δ Θ Π$^{supp}$ Ψ $f^{13}$ 28 565 700 892 1009 1010 1071 1195 1216 1230 1241 1242 1253 1344 1365 1546 1646 2148 2174 *Byz Lect* it$^{c,d^{supp},o}$ vg$^{ww}$ cop$^{bo}$ eth

[9] Short ending {A} Ἰησοῦς L 0112 579 syr$^{hmg}$ eth$^{mss}$ // Ἰησοῦς ἐφάνη Ψ 274$^{mg}$ it$^{k}$ // Ἰησοῦς ἐφάνη αὐτοῖς 099 cop$^{sa^{mss},bo^{mss}}$

[10] Short ending {C} σωτηρίας. ἀμήν. Ψ 099 0112 274$^{mg}$ 579 it$^{k}$ syr$^{hmg}$ cop$^{sa^{mss},bo^{ms}}$ // σωτηρίας. L cop$^{bo^{ms}}$

[11] Short ending: *see page 196 footnote 2.*

**18** ἐπὶ...ἕξουσιν Ac 4.30; 5.16; 8.7; Jas 5.14–15 **19** ἀνελήμφθη...οὐρανόν 2 Kgs 2.11; Ac 1.9–11; 1 Tm 3.16 ἐκάθισεν...θεοῦ Ps 110.1; Mt 22.44; 26.64; Mk 12.36; 14.62; Lk 20.42; 22.69; Ac 2.33, 34; 5.31; 7.55, 56; Ro 8.34; Eph 1.20; Col 3.1; He 1.3, 13; 8.1; 10.12; 12.2; 1 Pe 3.22 **20** Ac 14.3; He 2.3–4